| | |
|---|---|
| [[καὶ ἐπορεύθησαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ,<br>**Jean 8:1** Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν.<br>[2] Ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερὸν καὶ πᾶς ὁ<br>λαὸς ἤρχετο πρὸς αὐτόν, καὶ καθίσας ἐδίδασκεν αὐτούς.<br>[3] Ἄγουσιν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα<br>ἐπὶ μοιχείᾳ κατειλημμένην καὶ στήσαντες αὐτὴν ἐν μέσῳ<br>[4] λέγουσιν αὐτῷ· διδάσκαλε, αὕτη ἡ γυνὴ κατείληπται<br>ἐπ᾽ αὐτοφώρῳ μοιχευομένη·<br>[5] ἐν δὲ τῷ νόμῳ ἡμῖν Μωϋσῆς ἐνετείλατο τὰς τοιαύτας<br>λιθάζειν. σὺ οὖν τί λέγεις;<br>[6] τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτόν, ἵνα ἔχωσιν<br>κατηγορεῖν αὐτοῦ. ὁ δὲ Ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ<br>κατέγραφεν εἰς τὴν γῆν.<br>[7] ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, ἀνέκυψεν καὶ εἶπεν<br>αὐτοῖς· ὁ ἀναμάρτητος ὑμῶν πρῶτος ἐπ᾽ αὐτὴν βαλέτω<br>λίθον.<br>[8] καὶ πάλιν κατακύψας ἔγραφεν εἰς τὴν γῆν.<br>[9] οἱ δὲ ἀκούσαντες ἐξήρχοντο εἷς καθ᾽ εἷς ἀρξάμενοι<br>ἀπὸ τῶν πρεσβυτέρων καὶ κατελείφθη μόνος καὶ ἡ γυνὴ<br>ἐν μέσῳ οὖσα.<br><br>[10] ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ· γύναι, ποῦ εἰσιν;<br>οὐδείς σε κατέκρινεν;<br>[11] ἡ δὲ εἶπεν· οὐδείς, κύριε. εἶπεν δὲ ὁ Ἰησοῦς· οὐδὲ ἐγώ<br>σε κατακρίνω· πορεύου, [καὶ] ἀπὸ τοῦ νῦν μηκέτι<br>ἁμάρτανε.]] | **Jean 8:1** Jésus se rendit à la montagne des oliviers.<br>[2] Mais, dès le matin, il alla de nouveau dans le temple,<br>et tout le peuple vint à lui. S'étant assis, il les enseignait.<br><br>[3] Alors les scribes et les pharisiens amenèrent une femme<br>surprise en adultère; et, la plaçant au milieu du peuple,<br>[4] ils dirent à Jésus: Maître, cette femme a été surprise<br>en flagrant délit d'adultère.<br>[5] Moïse, dans la loi, nous a ordonné de lapider de telles<br>femmes: toi donc, que dis-tu ?<br>[6] Ils disaient cela pour l'éprouver, afin de pouvoir<br>l'accuser. Mais Jésus, s'étant baissé, écrivait avec le<br>doigt sur la terre.<br><br>[7] Comme ils continuaient à l'interroger, il se releva et<br>leur dit: Que celui de vous qui est sans péché jette le<br>premier, contre elle, la pierre.<br>[8] Et s'étant de nouveau baissé, il écrivait sur la terre.<br>[9] Quand ils entendirent cela, accusés par leur<br>conscience, ils se retirèrent un à un, depuis les plus âgés<br>jusqu'aux derniers; et Jésus resta seul avec la femme qui<br>était là au milieu.<br>[10] Alors s'étant relevé, et ne voyant plus que la femme,<br>Jésus lui dit: Femme, où sont-ils? Personne ne t'a-t-il<br>condamnée ?<br>[11] Elle répondit: Non, Seigneur. Et Jésus lui dit: Je ne te<br>condamne pas non plus: va, et ne pèche plus. |